eul_wid: hps-ba

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

# Citharist

## *Κιθαριστής*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

35 ...
35.1 [A] ζηλοῖς, λαβών τε τὴ[ν ..... ἐλ]ήλυθα[ς
35.2 θυγατέρα δεῦρο πλουσίαν θ' [ἡγῆι μόνην
35.3 ταύτην, σεαυτὸν δ' οὐχί;
37.1 (B) πάντ' ἐγὼ [μ]όνης
37.2 ταύτης λογίζομαί τ' ἐμαυτοῦ τὴν ἐμήν.
37.3 ἐλευθέρα τ' ἦν καὶ πόλεως Ἑλληνίδος,
40.1 καὶ πάντα ταῦτ' ἐκτησάμην ἀγαθῆι τύχηι.
40.2 οὐ δεῖ λαβεῖν με πορνο[βοσκοῦ] θ...[
40.3 〈A〉 τί δὴ τὸ λυποῦν ς' ἐστιν .[...οὐ]κ ἤγαγες
40.4 ἐνταῦθα τὴν γυναῖκα κα[.........]ν;
40.5 〈B〉 οὐκ οἶδ' ὅπου γῆς ἐστιν.
44 〈A〉 οὐκ ἐλήλυθεν;
45.1 〈B〉 οὔπω γε, νυνὶ τῶν χρόνων ὄντων μακρῶν. λογίζομαι πᾶν, μή τι κατὰ θάλατταν ἦι
45.2 ἀτύχημα γεγονὸς ἢ περι[...]ζας.
47.1 (A) μηθαμῶς.
47.2 〈B〉 οὐκ οἶδ'· ἀθυμῶ καὶ δέδοιχ' ὑπερβολῆι.
47.3 〈A〉 εἰκός τι πάσχειν.
49.1 (B) πρὸς ἀγορὰν δ' οὕτως ἅμα προάγων ἀκούσηι καὶ τὰ λοίφ', ὧν μοι γενοῦ
49.2 σύμβουλος.
51 (A) οὐθὲν κωλύει με.
51.1 (B) ταῦτα δὲ
51.2 εἴσω τις ἀγέτω τὴν ταχίστην ἐκποδών.
51.3 〈Γ〉 καὶ τί ποτ' ἂν εἴη; πάνυ γὰρ οὐχ αὑτοῦ ποεῖ
51.4 ἔργον. μεταπέμπετ' ἐξ ἀγροῦ με Μοσχίων,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὃς ἄλλοτ’, εἰ μὲν ἐνθάδ’ ὢν τύχοιμ’ ἐγώ,
εἰς ἀγρὸν ἔφευγεν, εἰ δ’ ἐκεῖς’ ἔλθοιμ’ ἐγώ,
ἐνταῦθ’ ἀναστρέψας ἔπινε. καὶ μάλα
κατὰ λόγον· οὐ παρῆν ὁ νουθετῶν πατήρ
οὐκ[......]γην· καὶ γὰρ αὐτὸς ἐγενόμην
εἷς [τῶν δυνα]μένων οὐσίαν μικρὰν ποεῖν.
οὐκ [ἠδίκηκε]ν ἡ γυνὴ κατὰ τοῦτό γε,
ἀλλ’ ἐξ ἐμοῦ ’στιν· οὐθὲν ἀγαθὸν γοῦν ποεῖ.
εἰσιτέον εἴσω δ’ ἐστίν. ἂν δὲ μὴ τύχηι
ὢν ἔνδο[ν, ἄρτ]ι πρὸς ἀγορὰν πορεύσομαι·
ἐκεῖ γὰρ αὐτόν που πρὸς Ἑρμαῖς ὄψομαι.
⟨ΜΟΣΧΙΩΝ⟩
ἆρ’ οὖν ὁ πατὴρ ἐλήλυθ’, ἢ πορευτέον ἐμοὶ πρὸς ἐκεῖνόν ἐστιν; οὐ γὰρ δεῖ χρόνον
τὸ πρᾶ[γμα λαμ]βάνειν ὅλως οὐδ’ ὁντινοῦν.
ἤδη δο[κεῖ μοι πρ]οσ[
uersuum xxii restant initia in hunc modum:
αἰτεῖν [
οἶμαι μένειν δεῖ [
προσμεινάτω τὸν [
ἐγὼ δὲ περὶ σοῦ. χαῖρ[ε
⟨?⟩ καὶ σύ γε [
οὐκ ἔλεγον εὐθὺς [
ἀλλ’ ἀνδρειστέον [
τίνα λόγον ἀεὶ προσ[
πολλὰ περὶ πολλῶν [
γῆμαί με βούλει κα[
φρονήσεως γὰρ τοῦτ[ο
⟨Γ⟩ ὦ Μοσχίων, ἄλλην μ[
ἕτοιμος εἰ μὴ προστίθ[
ἣν δεῖ λαβεῖν· αὐτ[ὸς] δὲ [
ἐλευθέραν, τοῦτο πολὺ [
μόνον κατὰ λόγον, εἰ δ’ α[
πρὸς τὸ γένος ἐστίν· ἀλλ[
εἰ παρθένον δὴ πρότε[ρον
σύμβουλον ἂν καλήις [
αὐτὸς κεκρικὼς [
ἃ δὴ δέδωκας [
μηθεὶς μάτην ε[

〈Μο〉 τὰ δ’ ἄλλ’ ἄκουσον· σπ[

90.4 εἰς τὴν Ἔφεσον· ἔπεσον [

90.5 τῆς Ἀρτέμιδος ἧν τῆς Ἐ[φεσίας

95.1 δειπνοφορία τις παρθένω[ν

95.2 εἶδον κόρην ἐνταῦθα Φανίου [τινὸς

95.3 Εὐωνύμεως.

97.1 (Γ) Εὐωνυμεῖς κἀ[κεῖ τινές

97.2 εἰς’ ἐν Ἐφέσωι;

98.1 (Μο) χρέα μὲν οὖν [πράξων παρῆν

98.2 ἐντεῦθεν.

99 (Γ) ἆρα τοῦ κιθαριστο[ῦ Φανίου ταύτην λαβεῖν ἐσπούδακ[ας τὴν θυγατέρα τοῦ γείτονος νῦν ὄντος; ου.ο[

Eulogikon public reading copy · View original HTML at eulogikon.org